τροπόλεις παντοίαις βαρεῖσθαι εἰσπράξεσιν ὑπὲρ τῶν ἐξαπορουμένων αὐτῶν ἐπισκοπῶν· τὰς εὐπορούσας δὲ τῶν ἐπισκοπῶν μὴ συγκροτεῖν καὶ συναίρεσθαι ταῖς ἀπορούσαις αὐτῶν μητροπόλεσι, καὶ τῶν διαφερόντων αὐταῖς, εἰ τύχοι, μοναστηρίων παραχωρεῖν. Ἀλλ' ὥςπερ ἐκεῖνο ὡς ἀναγκαῖον καὶ ἀπαραίτητον ἡ εἰσφορὰ καινοτομεῖ τῶν δημοσίων εἰσπράξεων, οὕτω τοῦτο ἡ παροῦσα λελογισμένη κρίσις οἰκονομεῖ, καὶ δίδωσιν ἐνεργεῖσθαι καὶ πράττεσθαι τοῦ λοιποῦ. Ταῦτα εἰς ἐπήκοον ἀναγνωσθέντα θεοφιλεστάτων μητροπολιτῶν, Κυριακοῦ, Ἐφέσου· Κωνσταντίνου, Νικαίας· Θεοδώρου, Χαλκηδόνος· Κωνσταντίνου, Σίδης· Ἰωάννου, Μελιτηνῆς· Κωνσταντίνου, Τυάνων· Ἰωάννου, Κλαυδιουπόλεως· Θεοφάνους(1), Νεοκαισαρείας· Ἰωάννου, Ἰκονίου· Σεργίου, Κορίνθου· Μιχαὴλ, Ἀθηνῶν· Θεογνώστου, Μωκισοῦ· Κωνσταντίνου, Τραπεζοῦντος· Ἀγαπητοῦ, Ἀδριανουπόλεως· Στεφάνου, Κρήτης· Νικολάου, Ὕδροῦντος· καὶ ἀρχιεπισκόπων, Διονυσίου, Προικοννήσου· Στρατηγίου, Ἄπρω· Λέοντος, Βρύσεως· Πέτρου, Κυψέλων· Νικολάου, Λήμνου· τῇ διὰ μολύβδου σφραγῖδι ἐπιστώθη, καὶ ἐπεβεβαιώθη, καὶ ἐπεδόθη μηνὶ Νοεμβρίῳ, ἐπινεμήσεως ια'. ἔτους ,ςφλς'.

---

(1) Θεοφυλάκτου Α. ἐν περιθωρ.